Φίλωνος· οὐ γὰρ ἐκ τῶν ὑπ' ἐμοῦ ⟨μόνου⟩ λεγομένων
δεῖ ὑμᾶς περὶ αὐτοῦ ὁποῖός ἐστι σκέψασθαι.
5 Ἐγὼ γὰρ οὐκ ἄλλους τινάς φημι δίκαιον εἶναι βου-
λεύειν περὶ ἡμῶν, ἢ τοὺς πρὸς τῷ εἶναι πολίτας καὶ
ἐπιθυμοῦντας τούτου. τούτοις μὲν γὰρ μεγάλα τὰ δια-
φέροντά ἐστιν εὖ τε πράττειν τὴν πόλιν τήνδε καὶ ἀνε-
πιτηδείως διὰ τὸ ἀναγκαῖον σφίσιν αὐτοῖς ἡγεῖσθαι
εἶναι μετέχειν τὸ μέρος τῶν δεινῶν, ὥσπερ καὶ τῶν
6 ἀγαθῶν μετέχουσι· οἳ δὲ φύσει μὲν πολῖταί εἰσι, γνώμῃ
δὲ χρῶνται ὡς πᾶσα γῆ πατρὶς αὐτοῖς ἐστιν ἐν ᾗ ἂν
τὰ ἐπιτήδεια ἔχωσιν, οὗτοι δῆλοί εἰσιν ὅτι ⟨ῥᾳδίως⟩
ἂν παρέντες τὸ τῆς πόλεως κοινὸν ἀγαθὸν ἐπὶ τὸ ἑαυ-
τῶν ἴδιον κέρδος ἔλθοιεν διὰ τὸ μὴ τὴν πόλιν ἀλλὰ τὴν
7 οὐσίαν πατρίδα ἑαυτοῖς ἡγεῖσθαι. ἐγὼ τοίνυν ἀποφανῶ
Φίλωνα τουτονὶ περὶ πλείονος ποιησάμενον τὴν ἰδίαν
ἀσφάλειαν ἢ τὸν κοινὸν τῆς πόλεως κίνδυνον, καὶ ἡγη-
σάμενον κρεῖττον εἶναι αὐτὸν ἀκινδύνως τὸν βίον
διάγειν ἢ τὴν πόλιν σῴζειν ὁμοίως τοῖς ἄλλοις πολίταις
κινδυνεύοντα.

8 Οὗτος γάρ, ὦ βουλή, ὅτε ἡ συμφορὰ τῇ πόλει ἦν (ἧς
ἐγώ, καθ' ὅσον ἀναγκάζομαι, κατὰ τοσοῦτον μέμνημαι),
ἐκκεκηρυγμένος ἐκ τοῦ ἄστεως ὑπὸ τῶν τριάκοντα μετὰ
τοῦ ἄλλου πλήθους τῶν πολιτῶν τέως μὲν ᾤκει ἐν ἀγρῷ,
ἐπειδὴ δὲ οἱ ἀπὸ Φυλῆς κατῆλθον εἰς τὸν Πειραιᾶ, καὶ
οὐ μόνον οἱ ἐκ τῶν ἀγρῶν ἀλλὰ καὶ οἱ ἐκ τῆς ὑπερορίας
οἱ μὲν εἰς τὸ ἄστυ οἱ δ' εἰς τὸν Πειραιᾶ συνελέγοντο,
καὶ καθ' ὅσον ἕκαστος οἷός τ' ἦν, κατὰ τοσοῦτον ἐβοή-
θει τῇ πατρίδι, τὰ ἐναντία ἅπασι τοῖς ἄλλοις πολίταις
9 ἐποίησε· συσκευασάμενος γὰρ τὰ ἑαυτοῦ ἐνθένδε εἰς τὴν
ὑπερορίαν ἐξῴκησε, καὶ ἐν Ὠρωπῷ μετοίκιον κατατιθεὶς
ἐπὶ προστάτου ᾤκει, βουληθεὶς παρ' ἐκείνοις μετοικεῖν

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481120/242 UNIVERSITÄT LEIPZIG